# Urkunde 5.

## Regest des Synodalschreibens der Synode in Bithynien.

(ca. 320)

Καὶ σύνοδον ἐν Βιθυνίᾳ συγκροτήσαντες γράφουσι τοῖς πανταχῇ ἐπισκόποις, ὡς ὀρθῶς δοξάζουσι κοινωνῆσαι τοῖς ἀμφὶ τὸν Ἄρειον, παρασκευάσαι δὲ καὶ Ἀλέξανδρον κοινωνεῖν αὐτοῖς.

Soz. I 15, 10 (A B² K) Th.

1 ἀπανταχῇ Th. 3 αὐτούς Soz. (B²)

# Urkunde 6.

## Glaubensbekenntnis des Arius und seiner Genossen an Alexander von Alexandrien.

(ca. 320)

1 Μακαρίῳ πάπᾳ καὶ ἐπισκόπῳ ἡμῶν Ἀλεξάνδρῳ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι
ἐν κυρίῳ χαίρειν.
2 Ἡ πίστις ἡμῶν ἡ ἐκ προγόνων, ἣν καὶ ἀπὸ σοῦ μεμαθήκαμεν, μακάριε πάπα, ἔστιν
αὕτη. οἴδαμεν ἕνα θεόν, μόνον ἀγέννητον, μόνον ἀΐδιον, μόνον ἄναρχον, μόνον ἀληθινόν,
μόνον ἀθανασίαν ἔχοντα, μόνον σοφόν, μόνον ἀγαθόν, μόνον δυνάστην, πάντων κριτήν,
διοικητήν, οἰκονόμον, ἄτρεπτον καὶ ἀναλλοίωτον, δίκαιον καὶ ἀγαθόν, νόμου καὶ προ-
φητῶν καὶ καινῆς διαθήκης θεόν, γεννήσαντα υἱὸν μονογενῆ πρὸ χρόνων αἰωνίων, δι'
οὗ καὶ τοὺς αἰῶνας καὶ τὰ ὅλα πεποίηκε, γεννήσαντα δὲ οὐ δοκήσει, ἀλλὰ ἀληθείᾳ, ὑπο-
στήσαντα ἰδίῳ θελήματι, ἄτρεπτον καὶ ἀναλλοίωτον, κτίσμα τοῦ θεοῦ τέλειον, ἀλλ'
3 οὐχ ὡς ἓν τῶν κτισμάτων, γέννημα, ἀλλ' οὐχ ὡς ἓν τῶν γεγεννημένων, οὐδ' ὡς Οὐαλεν-
τῖνος προβολὴν τὸ γέννημα τοῦ πατρὸς ἐδογμάτισεν, οὐδ' ὡς Μανιχαῖος μέρος ὁμοούσιον
τοῦ πατρὸς τὸ γέννημα εἰσηγήσατο, οὐδ' ὡς Σαβέλλιος τὴν μονάδα διαιρῶν υἱοπάτορα

4 zu μόνον ἀγέννητον vgl. Urk. 1 S. 2, 8, aber Urk. 14. S. 26, 30 f.; 27, 14 f. 6 f. Vgl. Urk. 14. S. 27, 3 | νόμου — 10 κτισμάτων zitiert Urk. 7 S. 14, 7 ff. 8 οὐ δοκήσει vgl. Origenes de princ. I praef. 4 (10, 11) und in Joh. frg. 53 (527, 18), doch kann diese Stelle, da sie die römischen Katenen nicht bezeugen, etwa Arius entnommen sein 8/9 Vgl. Urk. 1 S. 3, 1 | zu ὑποστήσαντα vgl. Hilarius de trinit. 6, 18 (II 145 A ed. Maur.) 9/10 zitiert von Athan. Or. II c. Arian. 19 (I 486 E) 11 zu προβολή vgl. vor allem Irenaeus bei Epiph. haer. 31, 27 ff. (I 426, 1 ff.) und haer. 31, 13, 3. 7 (I 405, 11; 406, 3), Tertullian adv. Valent. 27 (CSEL 47, 203, 11), adv. Prax. 8 (CSEL 47, 237, 19 ff.), siehe auch die interessante Stelle bei Tertullian Apol. 21 (I 198 ed. mai. Oehler), vgl. die Polemik des Origenes de princ. IV 4, 1 (28) (348, 7 ff.). Der zweite Punkt der Anklagen gegen Origenes, von denen Pamphilus in seiner Apologia pro Origene berichtet (lib. I 5; Opera Origenis ed. Lommatzsch 24, 353), lautet: Secunda quod dicunt per prolationem secundum Valentini fabulas in subsistentiam venisse filium dei dicere | Zu Μανιχαῖος und ὁμοούσιον vgl. Loofs, Das Nicänum, in Festgabe für Karl Müller 1922 S. 71, 1 12 Der Terminus υἱοπάτωρ wird Sabellius zugeschrieben von Ps. Athan. (Eustathius v. Ant.) expos. fidei 2 (I 100 B), Euseb eccl. theol. I 1, 2 (62, 33) und II 5 (103, 7), Didymus adv. Arium et Sabellium (A. Mai, Nov. Patr. Bibl. IV, S. 1), vgl. auch Epiph. haer. 62, 2, 5 (II 391, 9) und Leontius v. Byzanz de sectis 3, 3 (Migne PG 86¹, 1216 A). Sonst siehe Newman, Select treatises of St. Athanasius II 475 ff.

Ath. de synodis 16 (BKOP R) Epiph. 69, 7 (I) Hil. de trin. IV 12 f. VI 5 f.

1—4 αὕτη > Hil. 1 καὶ¹ > Ath. (BKOP) 5 μόνον σοφόν > Hil. | πάντων] μόνον Epiph. | κριτήν + πάντων Epiph. | κριτήν] creatorem = κτιστήν Hil. 6 διοικητήν + καὶ Hil. | καὶ¹ > Hil. 7 διαθήκης θεόν Euseb Urk. 7 S. 14, 8 διαθήκης τοῦτον θεόν Ath. Epiph. Hil. 8 ὅλα] ἄλλα Ath. (B) λοιπὰ Epiph. 8/9 ὑποστήσαντα + δὲ Epiph. | ὑποστήσαντα] obsecutum Hil. 10 γεγεννημένων] γεννημάτων Epiph. Athan. Or. II 19 | οὐχ — γεγεννημένων] non sicuti ceterae facturae = οὐδ' ὡς τὰ λοιπὰ γεγενημένα Hil. 11 τὸ] καὶ Ath. (K) | ὡς + ὁ Epiph. 12 Σαβέλλιος + ὁ Epiph.

εἶπεν. οὐδ' ὡς Ἱερακᾶς λύχνον ἀπὸ λύχνου ἢ ὡς λαμπάδα εἰς δύο, οὐδὲ τὸν ὄντα πρό-
τερον, ὕστερον γεννηθέντα ἢ ἐπικτισθέντα εἰς υἱόν, ὡς καὶ σὺ αὐτός, μακάριε πάπα, κατὰ
μέσην τὴν ἐκκλησίαν καὶ ἐν συνεδρίῳ πλειστάκις τοὺς ταῦτα εἰσηγησαμένους ἀπηγό-
ρευσας, ἀλλ' ὥς φαμεν, θελήματι τοῦ θεοῦ πρὸ χρόνων καὶ πρὸ αἰώνων κτισθέντα καὶ
τὸ ζῆν καὶ τὸ εἶναι παρὰ τοῦ πατρὸς εἰληφότα καὶ τὰς δόξας, συνυποστήσαντος αὐτῷ
τοῦ πατρός. οὐ γὰρ ὁ πατὴρ δοὺς αὐτῷ πάντων τὴν κληρονομίαν ἐστέρησεν ἑαυτὸν 4
ὧν ἀγεννήτως ἔχει ἐν ἑαυτῷ· πηγὴ γάρ ἐστιν πάντων. ὥστε τρεῖς εἰσιν ὑποστάσεις.
καὶ ὁ μὲν θεὸς αἴτιος τῶν πάντων τυγχάνων ἐστὶν ἄναρχος μονώτατος, ὁ δὲ υἱὸς ἀχρόνως
γεννηθεὶς ὑπὸ τοῦ πατρὸς καὶ πρὸ αἰώνων κτισθεὶς καὶ θεμελιωθεὶς οὐκ ἦν πρὸ τοῦ γεν-
νηθῆναι, ἀλλ' ἀχρόνως πρὸ πάντων γεννηθείς, μόνος ὑπὸ τοῦ πατρὸς ὑπέστη. οὐδὲ
γάρ ἐστιν ἀΐδιος ἢ συναΐδιος ἢ συναγέννητος τῷ πατρί, οὐδὲ ἅμα τῷ πατρὶ τὸ εἶναι ἔχει,
ὥς τινες λέγουσι τὰ πρός τι, δύο ἀγεννήτους ἀρχὰς εἰσηγούμενοι. ἀλλ' ὡς μονὰς καὶ
ἀρχὴ πάντων, οὕτως ὁ θεὸς πρὸ πάντων ἐστί. διὸ καὶ πρὸ τοῦ υἱοῦ ἐστιν, ὡς καὶ παρὰ
σοῦ μεμαθήκαμεν κατὰ μέσην τὴν ἐκκλησίαν κηρύξαντος.

Καθὸ οὖν παρὰ τοῦ θεοῦ τὸ εἶναι ἔχει καὶ τὰς δόξας καὶ τὸ ζῆν καὶ τὰ πάντα αὐτῷ 5
παρεδόθη, κατὰ τοῦτο ἀρχὴ αὐτοῦ ἐστιν ὁ θεός. ἄρχει γὰρ αὐτοῦ ὡς θεὸς αὐτοῦ καὶ
πρὸ αὐτοῦ ὤν. εἰ δὲ τὸ »ἐξ αὐτοῦ« καὶ τὸ »ἐκ γαστρὸς« καὶ τὸ »ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ
ἥκω« ὡς μέρος αὐτοῦ ὁμοουσίου καὶ ὡς προβολὴ ὑπό τινων νοεῖται, σύνθετος ἔσται ὁ
πατὴρ καὶ διαιρετὸς καὶ τρεπτὸς καὶ σῶμα κατ' αὐτοὺς καὶ τὸ ὅσον ἐπ' αὐτοῖς τὰ ἀκόλουθα
σώματι πάσχων ὁ ἀσώματος θεός.

Ἐρρῶσθαί σε ἐν κυρίῳ εὔχομαι, μακάριε πάπα. Ἄρειος, Ἀειθαλῆς, Ἀχιλλεύς, Καρπώνης, Σαρμάτας, Ἄρειος πρεσβύτεροι. διάκονοι Εὐζώϊος, Λούκιος, Ἰούλιος, Μηνᾶς, Ἑλλάδιος, Γάϊος. ἐπίσκοποι Σεκοῦνδος Πενταπόλεως, Θεωνᾶς Λίβυς, Πιστός [ὃν κατέστησαν εἰς Ἀλεξάνδρειαν οἱ Αρειανοί].

---

1 zu Hierakas vgl. Epiph.haer 67 (III 132, 13 ff.) | Zum Bilde vom Leuchter vgl. Justin Dialog 128, 4 (250 Goodspeed) 4 ὥς φαμεν bezieht sich auf frühere Aussagen des Arius wie Urk. 1 S. 3, 1—2 4 ff. bei Foebadius c. Arianos 8 (Migne PL 20, 18 D) 7 zu τρεῖς ὑποστάσεις vgl. Origenes in Joh. II 10 (65,16) und Arius bei Athan. de syn. 15 (I 728 D): ἤγουν τριάς ἐστι δόξαις οὐχ ὁμοίαις. ἀνεπίμικτοι ἑαυταῖς εἰσιν αἱ ὑποστάσεις αὐτῶν 8 Vgl. Urk. 1 S. 3, 4 9 Vgl. Urk. 1 S. 3, 3 11 zu συναγέννητος vgl. Urk. 1 S. 2, 8; zu ἅμα τῷ πατρὶ vgl. Urk. 1 S. 2, 1 12 zu δύο ἀγεννήτους vgl. Urk. 14 S. 26, 23 ff. 17 Ps. 109, 3 17/18 Jh. 8, 42 18 ff. Eine ähnliche Abwehr bei Euseb eccl. theol. II 14 (115, 6 ff.) 23/24 Einschub nach Athan. Apol. c. Arian. 24 (I 144 C)

---

Ath. (BKOP R) Epiph. (I) Hil. 21—24 nur Epiph. (I)

---

1 Ἱέραξ Ath. (K) | ὡς[2] > Hil. | δύο + ⟨μεριζομένην⟩ Holl. 2/3 ἐν μέσῃ τῇ ἐκκλησίᾳ Epiph. 3 ἐν > Epiph. | ταῦτα] τοιαῦτα Ath. (K) Hil. 7 ὧν] τῶν Ath. (R) | ἀγενήτως Ath. (KOPR) | ὧν ἀγεννήτως ἔχει] ⟨τοῦ⟩ (Holl) τὸ ἀγεννήτως (ἀγένητον Holl) ἔχειν Epiph. (I) ab his quae non facta habentur ab ipso Hil. | ὑποστάσεις + πατὴρ υἱὸς καὶ ἅγιον πνεῦμα Epiph. Hil. 9/10 γεννηθῆναι] γεννηθῇ Ath. 10 ὑπὸ + μόνου Epiph. Hil. 11 συναγένητος Ath. (BKOR) Epiph. (Holl) 12 τὰ πρός τι] aut aliqui Hil. | ἀγενήτους Ath. (BKOR) Epiph. (Holl) | ἀρχὰς εἰσηγούμενοι ἀγεννήτους ~ Ath. (BKOP) 13 ἀρχὴ + τῶν Ath. (K) Epiph. | οὕτως + καὶ Hil. | υἱοῦ] Χριστοῦ Epiph. | καὶ[2] > Ath. (K) Epiph. 14 ἐν μέσῃ τῇ ἐκκλησίᾳ Epiph. 15 τὸ ζῆν καὶ τὰς δόξας ~ Epiph. | τὰ > Epiph. 16 παρεδόθη] παρασχόντα Epiph. (I) παρασχόντος Holl, der auch Z. 15 hinter ἔχει: ⟨τοῦ⟩ einsetzt | τοῦτο] τὸ Ath. (B) 17 ὢν — αὐτοῦ] ⟨ἔχων τὸ⟩ εἶναι διὰ τὸ ἐξ αὐτοῦ Epiph. | καὶ[1] + εἰ Epiph. | τοῦ > Epiph. 18 αὐτοῦ] τοῦ Epiph. | ὡς προβολὴν ἀποτείνων = quasi prolationem extendens Hil. 21 Ἐθάλης I.